*33.

Ibid. in OD 219:

*αὐτίκα γὰρ τρέχει ὅρκος ἅμα σκολιῇσι δίκῃσιν.*

*Σκολιὰς δὲ δίκας λέγει νῦν τὰς κακῶς δεδικασμένας διὰ τὸ μηδὲν ὑγιὲς φρονεῖν τοὺς δικάζοντας ἀλλ᾽ ἐμπαθῶς δικάζειν· πᾶν γὰρ πάθος σκολιόν, ὡς ἁπλοῦν τὸ ἀπαθές.*

34.

Ibid. in OD 220:

*τῆς δὲ δίκης ῥόθος ἑλκομένης – – –*

*Τὸν ῥόθον οἱ μὲν ἤκουσαν τὸν ψόφον, ὅθεν καὶ ῥόθιον καλεῖσθαι τὸ κτυποῦν κῦμα καὶ ῥεῦμα· Πλούταρχος δὲ βοιωτιάζων (οὕτω γὰρ καλεῖν φασι Βοιωτούς) τὰς ὀρεινὰς ὁδοὺς τὰς στενὰς καὶ δυσάντεις ῥόθους ὀνομάζεσθαί φησιν. εἰ οὖν τοῦτο κρατοίη, λέγοι ἂν ὅτι, τῆς δίκης ἑλκομένης ὑπὸ τῶν ἐπὶ δώροις τὰς δίκας κρινόντων σκολιῶς, ῥόθος ἐστί, τουτέστι δυσάντης ἡ ὁδὸς καὶ τραχεῖα, δι᾽ ἧς ἕλκεται ὑπὸ τῶν δικαστῶν· ἀντίκειται γὰρ τῷ εὐθεῖ τὸ σκολιὸν καὶ τῷ λείῳ τὸ τραχὺ καὶ τῷ εὐδιοδεύτῳ τὸ στενὸν καὶ δυσχωρίαν ἔχον· τοιαύτη δὲ ἐστὶ πᾶσα μοχθηρὰ κρίσις.*

*35.

Ibid. in OD 230:

*οὐδέ ποτ᾽ ἰθυδίκῃσι μετ᾽ ἀνδράσι λιμὸς ὀπηδεῖ*

*Οὔκουν οὐδὲ οἱ Λακεδαιμόνιοι λιμὸν εὐλαβοῦντο δι᾽ εὐτέλειαν διαίτης, ἣν ἔχοντες τῶν ἀδικιῶν ἐκαθάρευον· ταῖς γὰρ πολυτελείαις ἡ πλεονεξία συνεισελθοῦσα λιμοῦ γίνεται πρόξενος.*



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403572894/34 UNIVERSITÄT LEIPZIG